02/06/2021

# Προσευχή ασθενούς ευρισκομένου εις κέντρον αποκαταστάσεως και αποθεραπείας

Μητροπολιτικό Έργο / Ι.Μ. Μάνης



## Του Σεβ. Μητροπολίτου Μάνης κ. Χρυσοστόμου Γ’

*Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, Φιλάνθρωπε καὶ Πολυεύσπλαχνε, ἰατρὲ τῶν ψυχῶν καί τῶν σωμάτων, Καλὲ Σαμαρεῖτα, Σὲ ἱκετεύω καὶ Σὲ παρακαλῶ, ἐπίσκεψαι ἐν τῷ ἐλέει Σου καὶ ἐμέ, τόν ἀσθενοῦντα δοῦλόν Σου.*

*Κύριε καὶ Θεὲ μου, οἶδας ὅτι ἐν κλίνῃ κατάκειμαι καὶ ὑπάρχω ἐν ἀθυμίᾳ, διὸ σπεῦσον καὶ ρῦσαι με ἐκ τῆς παρούσης καταπονήσεως καί ἀνάγκης. Καταπράϋνον τὸν πόνον καὶ θεράπευσόν με ἀπὸ πάσης νευρολογικῆς καί μυοσκελετικῆς παθήσεως. Δὸς μοι συνεργασίαν ἀγαθὴν μετὰ τοῦ ἐνταῦθα ὑπηρετοῦντος ἐξειδικευμένου ἐπιστημονικοῦ καὶ λοιποῦ προσωπικοῦ. Χάρισαὶ μοι πολλήν ὑπομονήν, καρτερίαν, ἐλπίδα καὶ πίστιν.*

*Σὺ γάρ εἶ ὁ μόνος ἀγαθός, οἰκτίρμων καὶ ἐλεήμων, πλούσιος ἐν ἀγάπῃ διὰ τὸ πλάσμα Σου.*

*Ναί, Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου καὶ διαφύλαξόν με ἀπὸ παντὸς κακοῦ˙ πρεσβείαις τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων Σου τῶν Ἁγίων. ΑΜΗΝ.*